φεῦγ' ἡδονὴν φέρουσαν ὕστερον βλάβην.

Stobaeus Floril. 6, 24 *Ἀλέξιδος* A. cf. Menand. monost. 532.

296

λύπη μανίας κοινωνίαν ἔχει τινά.

Stobaeus Floril. 99, 9 *Ἀλέξιδος* A. cf. Antiphan. 295.

297

ὦ δέσποθ', ὑγίαιν'. ὡς χρόνιος ἐλήλυθας.

Lucianus Pro lapsu in salutando 6 *πολὺ δ' ἂν καὶ ἐν τῇ τρα-*

γῳδίᾳ καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ εὕροις τὸ ὑγιαίνειν πρῶτον εὐθὺς λεγόμενον... Ἄλεξις κτλ.

298

τὸ παναρμόνιον τὸ καινὸν ἔντεινον τεχνῶν.

Photius 388, 26 παναρμόνιον· ὄργανον μουσικόν. Ἄλεξις· ἐν ᾧ τὸ παναρμόνιον κτλ. παραρμόνιον cod. τεχνῶν] Τέχνων Mein. coni. Athen. 8, 344 c. τέκνον M. Schmidt De dithyr. 260. pro ἐν ᾧ cum Meinekio aut ἐν τῷ aut Λίνῳ scribendum.

299

πολὺν πιὼν Εὐβοϊκὸν οἶνον

Athenaeus 1, 30 f Κορινθίου οἴνου Ἄλεξις μνημονεύει... καὶ Εὐβοϊκοῦ δέ κτλ. πιὼν] ποιῶν CD.

300

Athenaeus 1, 18 c ηὔξηται δὲ καὶ ἡ τῶν ὀψοποιῶν περιεργία καὶ ἡ τῶν μυρεψῶν, ὥστ' οὐδ' ἂν κολυμβᾶν εἰς κολυμβήθραν μύρου ἀρκεῖσθαί τις ἂν δύναιτο, φησὶν Ἄλεξις. Eustathius 1842, 20 καθά φησιν ὁ κωμικὸς Ἄλεξις κτλ. κολυμβῶν Dobr. Adv. II 94. οὐδ' ἂν κολυμβῶν εἰς κολ. μ. | δύναιτ' ἂν ἀρκεῖσθαι Mein., ubi in fine addendum erat τις.

301

οὐ μεθύω τὴν φρόνησιν, ἀλλὰ τὸ τοιοῦτον μόνον,
τὸ διορίζεσθαι βεβαίως τῷ στόματι τὰ γράμματα.

Athenaeus 2, 40 c φησὶν Ἄλεξις. 1. οὐδὲ μεθύω Schweigh. οὐχὶ μεθύω Dindf. τοσοῦτον Casaub.

302

οὐκ ἔστ' ἀναισχυντότερον οὐδὲν θηρίον
εἰσορᾶν γυναικός· ἀπ' ἐμαυτῆς ἐγὼ τεκμαίρομαι.

Stobaeus Floril. 73, 39 Ἀλέξιδος A. 2. εἰσορᾶν A Voss. perperam omisit Gaisford.

303

[Plutarchus] De nobilit. 618 a τί οὖν Ἀλέξιδος ἀναιδέστερον, ὃς τῆς στρατηγίας τὴν γεωργίαν προτιμῶν οὐκ ἐν νῷ εἶχεν ὅσον τοῦ τῶν κεκτημένων τὸ δουλωτικὸν πρᾶγμα διαφερόμενον τυγχάνει. videntur fuisse tetr. troch. τῆς στρατηγίας | τὴν γεωργίαν προτιμῶ.

304

Vitruvius 6 praef. 3 *Alexis Athenienses ait ideo oportere laudari, quod omnium Graecorum leges cogunt parentes ali a liberis, Atheniensium non omnes, nisi eos qui liberos artibus erudiissent.* cum fr. 280 aliquo modo coniunctum fuisse censet Meinekius.

305

ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ

ταύτης μέμνηται . . . Ἄλεξις. Zenob. 2, 17. cf. Cratin. 442.

306

διηπειλεῖτό σοι

Bekker. Anecd. 82, 25 *ἀπειλοῦμαι· ἀντὶ τοῦ ἀπειλῶ. Ἄλεξις κτλ. contendebat, altercabatur tecum minis.* fallitur Antatticista. *ἀπειλεῖν διαπειλεῖσθαι* ut *ἀκοντίζειν διακοντίζεσθαι, βοᾶν διαβοᾶσθαι, κελεύειν διακελεύεσθαι, τοξεύειν διατοξεύεσθαι* cet. Cobet. N. l. 625 sq. Aeschin. 1, 43 *διαπειλησαμένων δὲ τοῦ Μισγόλα καὶ τοῦ Φαίδρου τοῖς ξένοις.* 2, 136 *διηπειλοῦντο* (sic Cob. pro *διηπείλουν*) *τοῖς Θηβαίων πρέσβεσιν.*

307

καύσιμα ξύλα

Ἄλεξις. Bekker. Anecd. 105, 4.

308

νάρδον Βαβυλωνιακήν

ὡς Ἄλεξις. Pollux 6, 104.

309

τίνι σπεύδεις

ἀντὶ τοῦ τίνι σπουδάζεις· οὕτως καὶ Ἄλεξις. Photius 530, 9 et Suidas *σπουδάζω.*

310

φορμὶς ἰσχάδων

παρ' Ἀλέξιδι. Cramer. Anecd. Ox. I 225, 5.

311

(τὴν) βαρυφωνίαν

παρ' Ἀλέξιδι. Pollux 2, 112.

312

γηροβοσκεῖα

Ἄλεξις (εἶπε). Pollux 2, 14. ut *τροφεῖα, πρωτεῖα* al.

313

δακρυρροοῦντα

Ἄλεξις. Pollux 2, 64. haud raro apud Sophoclem et Euripidem.

314

διαπεπαρθενευκότα

Ἄλεξις. Pollux 3, 42. cf. Diocl. 16. Antiphan. 75.

315

ἐπιλήσμη

Ἄλεξις. Schol. Arist. Nub. 790. Suidas ἐπιλησμότατον. cf. Cratin. 410.

316

εὐοψωνίαν

Ἄλεξις εἶπεν. Pollux 6, 38. cf. quae ad fr. 38 adnotantur. utique Alexidis est.

317

εὐφύεια

(pro εὐφυΐα) εὕρηται παρὰ Ἀλέξιδι. Etymol. m. 462, 22.

318

ἰάτριαν

Ἄλεξις. Eustathius 859, 51.

319

(τῷ) καμμύειν

Ἄλεξις κέχρηται . . ἠμελημένως ἐσχάτως. Phrynichus Epit. 339. (pro καταμύειν, *connivere*). cf. quae adnotavit Lobeckius.

320

κεραμοπωλεῖν

τὸ ῥῆμα Ἄλεξις. Pollux 7, 161.

321

λευκόπυγον

Ἄλεξις ὁ κωμικὸς ἔφη τὸν ἄνανδρον. Eustathius 863, 29. λευκόπρωκτος Call. 11. opp. μελάμπυγος, δασύπρωκτος.

322

Νήστης

Σικελικὴ θεός. Ἄλεξις. Photius. cum Meinekio scribendum est Νῆστις. scilicet significatur Empedoclea Νῆστις, i. e. ὕδωρ.

323

ὀξυχειρία

παρ' Ἀλέξιδι. Pollux 2, 149.

324

οὐλόκομος

εἴρηται παρ' Ἀλέξιδι. Pollux 2, 23. Photius *οὐλοκόμος· Ἄλεξις.* cf. Pherecr. 223.

325

παλαιστρικός

Ἄλεξιν φασὶν εἰρηκέναι· ὁ δὲ ἀρχαῖος παλαιστικὸν λέγει. Phrynich. Ecl. 242, ubi cf. Lobeck. Thom. M. 290, 5 *παλαιστρικός Ἄλεξις εἶπε· σὺ δὲ παλαιστικός.*

326

πατριώτης

Ἄλεξις. Bekker. Anecd. 113, 20. quod ideo adnotavit, quia Archippus *συμπατριώτης* dixerat. Lobeck. Phryn. 172.

327

πίσον

τὸ ὄσπριον. Ἄλεξις. Photius. dicebant enim alii *πίσος* (*πισός*). Aristoph. fr. 22. Eupol. 301.

328

ποικιλεύς

Pollux 7, 35 *ὁ δὲ ποικιλτὴς ὠνόμασται παρὰ Ἀλέξιδος ποικιλεύς.*

329

πτερνίδα

Pollux 4, 182 (*ἐργαλεῖον ἰατρῶν*) *καὶ λεκάνη, ἧς τὸν πυθμένα Ἄλεξις πτερνίδα καλεῖ.* et 2, 197 *πτερνίδες ἐν τῇ μέσῃ κωμῳδίᾳ καλοῦνται οἱ πυθμένες τῶν ἰατρικῶν λεκανίδων.* Hesych. *πτερνίς· τὰ πυθμένια τῶν ἰατρικῶν λεκανίδων, ἃ μέχρι νῦν προσδέουσιν ἀλυσειδίοις μακροῖς ἐν τοῖς ἰατρείοις.* cf. Phot. *πτερνίδες* et Eustath. 870, 29.

330

Pollux 7, 113 *πρίων, πρίστης, ἡ καλουμένη ῥίνη. καὶ ῥίνη δὲ ὑπὸ Ξενοφῶντος εἴρηται. ἐν δὲ τοῖς ἔργοις αὐτοῦ καὶ τὰ Ἀλέξιδος ἂν θείης.* verba Alexidis exciderunt.

331

Σκυθαίνας

Σκυθίδας. Ἄλεξις. Photius. Arist. Lys. 184 contulit Meinekius.

332

στόλον

τὰ πλοῖα. Ἄλεξις. Photius.

333

ὑπόμακρον

τὸ ὑπόμηκες. Ἄλεξις. Bekker. Anecd. 115, 14.

334

φιλαδελφία καὶ φιλεταιρία

Ἄλεξις. Bekker. Anecd. 115, 26. cod. φιλαιτερία.

335

φιλεριστήν

Ἄλεξις εἶπε. Pollux 6, 168.

336

φιλοθεωρόν

Ἄλεξις εἶπε (τὸν φιλοθεάμονα). Pollux 6, 168.

337

χαλκίζειν

ἀντὶ τοῦ χαλκῷ κυβεύειν. Ἄλεξις. Bekker. Anecd. 116, 10. Pollux 7, 206 κυβείας δὲ εἴδη ... χαλκίζειν καὶ χαλκισμός. Hesych. χαλκίνδα· τὸ εἰς χαλκὸν κυβεύειν. alia ludi genera sunt quae Pollux 7, 105 et 9, 118 χαλκίζειν et χαλκισμόν dicit.

338

ψυχικός

.. σημαίνει δὲ καὶ τὸν ἀνδρειόθυμον. οὕτως Ἄλεξις. Photius et Suidas ψυχικός.

ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ

339

οὐκ ἔστιν οὔτε τεῖχος οὔτε χρήματα,
οὐδ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή.

Stobaeus Floril. 73, 42 Ἀλέξιδος A. eadem Stobaeus Floril. 74, 13 ex Euripidis Danae excerpsit (fr. 322 N.). fortasse Alexis in parodia eisdem versibus usus erat.

340

ψυχὴν ἔχειν δεῖ πλουσίαν· τὰ δὲ χρήματα
ταῦτ' ἐστὶν ὄψις, παραπέτασμα τοῦ βίου.

Stobaeus Floril. 93, 1 Ἀλέξιδος, οἱ δὲ Μενάνδρου A. cf. Antiphan. 327.

341

οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων
ὄντως γυναικὸς προῖκα πολλὴν φερομένης.

Ἀλέξιδος. Apostol. (Arsen.) 13, 39 t. at cf. Antiphan. 329.

342

οὑτοσὶ δέ σοι
τοῦ λευκοτάτου πάντων ἐλαίου Σαμιακοῦ
ἔστιν μετρητής.

Athenaeus 2, 66 f Σαμιακοῦ ἐλαίου μνημονεύει Ἀντιφάνης ἢ Ἄλεξις κτλ. cf. Antiphan. 331.

343

οὐκ ἀνδρῶν ὅρκοι πίστεις, ἀλλ' ὅρκων ἀνήρ.

Ἄλεξις. Apostol. (Arsen.) 13, 21 a. at Αἰσχύλου (fr. 385 N.) Stob. Floril. 27, 2. scr. ἀνδρὸς — πίστις.

344

Athenaeus 15, 700 e [ξυλολυχνοῦ]χον. οὗ μνημ[ονεύει Ἄλεξις] ἐν Εἰσοικιζ[ομένῳ οὕτως·] ὁ δὲ ξυλο[λυχνοῦχος] . . . epitome: ξυλολυχνούχου δὲ μέμνηται Ἄλεξις. cf. Eustathius 1571, 21 ὁ δὲ παρὰ Ἀλέξιδι ξυλολυχνοῦχος τάχα, φασίν, ὅμοιός ἐστι τῷ παρὰ Θεοπόμπῳ (fr. 7) ὀβελισκολύχνῳ. de Athenaeo cf. G. Kaibel. Ind. Rost. 1883 p. 9. 10.

345

ἀκολαστία

Ἄλεξις. Bekker. Anecd. 367, 24. fortasse pertinet ad fr. 36, 6.

ΚΛΕΑΡΧΟΣ

Aetas eius adhuc incerta nunc indice poetarum comicorum, ubi non potest dubitari quin Koehlerus (I. A. n. 977) recte suppleverit Κλέ[αρχ]ος, satis inlustratur. exstat autem nomen eius Alexim inter et Timoclem.

ΚΙΘΑΡΩΙΔΟΣ

1

τήνδ' ἐγὼ
μεστὴν ἅπαξ ἐπονομάσας προπίομαι

πίστωμα φιλίας συγγενέσι. πιὼν ἐρῶ
τὰ λοιπά· πνίγομαι γάρ. Β. ἀλλ' ἐπιρρόφει.

Athenaeus 10, 426 a *ταῦτα μὲν Κλέαρχος ἐν Κιθαρῳδῷ.* 1. *ἅπαξ* Dobr. Add. Arist. p. 113] *ἅπασαν* A. 3. *πίστ. φ. σ.* Mein.] *σ. πίστ. φ.* A. *ἐρῶ τὰ λοιπά* Schweigh.] *ἔρωτα λοιπόν* A. 4. *B.* add. Mein.

2. cf. Cratin. 273. Eubul. 56, 6. Philetaer. 1. 4. 'non uno haustu poculum ebibendum esse monet, sed per intervalla exsorbendum. Aristot. Probl. 27, 3 *διακλύζονται (οἱ ἀγωνιῶντες) καὶ ἐπιρροφοῦσι, καθάπερ Παρμένων ὁ ὑποκριτής.*' Mein.

2

γόγγρων τε λευκῶν πᾶσι τοῖς κολλώδεσι
βρόχθιζε. τούτοις γὰρ τρέφεται τὸ πνεῦμα καὶ
τὸ φωνάριον ἡμῶν περίσαργον γίνεται.

Athenaeus 14, 623 c *ἀνεφώνησε τὰ ἐκ τοῦ Κλεάρχου Κιθαρῳδοῦ τάδε κτλ.* 1. *γόγγρων — λευκῶν* Emperius] *γόγγρῳ — λευκῷ* A. *πᾶσι*] *κρέασι* Emper. fortasse *ἤ π α σ ι.* 3. *περίσαρκον* Schweigh., *περίλαμπρον* Casaub.

ΚΟΡΙΝΘΙΟΙ

3

εἰ τοῖς μεθυσκομένοις ἑκάστης ἡμέρας
ἀλγεῖν συνέβαινε τὴν κεφαλὴν πρὸ τοῦ πιεῖν
τὸν ἄκρατον, ἡμῶν οὐδὲ εἷς ἔπινεν ἄν.
νυνὶ δὲ πρότερον τοῦ πόνου τὴν ἡδονὴν
προλαμβάνοντες ὑστεροῦμεν τἀγαθοῦ.

Athenaeus 14, 613 b *Κλέαρχος ὁ κωμῳδιοποιὸς ἐν Κορινθίοις φησὶν κτλ.* 4. sic Porson. Adv. 50. *νῦν δὲ πρότερόν γε* A. — cf. Alexid. 255. *ὑστεροῦμεν τἀγαθοῦ*, ut *ἀσυμβόλου δείπνου ὑστερεῖν* Amphid. 39.

ΠΑΝΔΡΟΣΟΣ

4

λάβ' ὕδωρ κατὰ χειρός. Β. μηδαμῶς· καλῶς ἔχει.
Α. λάβ', ὠγάθ'· οὐδὲν χεῖρον. ἡ παῖς, ἐπιτίθει
ἐπὶ τὴν τράπεζαν κάρυα καὶ τραγήματα.

Athenaeus 14, 642 b *Κλέαρχος Πανδρόσῳ κτλ.* 2. *ὠγαθὲ* A. *ἡ παῖς* Dobr. Adv. II 349] *παῖς.* *παισεπιτίθει* A.

1. *καλῶς ἔχει.* cf. quae adnotavimus ad Arist. Ran. 508 et de *οὐδὲν χεῖρον* Arist. Eq. 37.

ΑΔΗΛΟΥ ΔΡΑΜΑΤΟΣ

5

οἶνος Λέσβιος
ὃν αὐτὸς ἐποίησεν ὁ Μάρων μοι δοκῶ.

Athenaeus 1, 28e *φησὶ Κλέαρχος*. Eustathius 1623, 47 *Κλέαρχός τις..ἔφη τὸ κτλ.* (om. *αὐτὸς*). — cf. Hom. Od. 9, 197. Cratin. 135. Alexid. 108. *ἐξεποίησεν* vel *ἐμοὶ δοκῶ* Mein. *μοι δοκῶ* ut Menand. 67 (Mein.), 3. anon. 430 (M.), 9. Hippoloch. Athen. 4, 129a *ἐπεισβάλλουσιν αὐλητρίδες...ἐμοὶ μὲν γυμναὶ δοκῶ.*

ΑΝΤΙΔΟΤΟΣ

Mein. I 415. 6.

ΜΕΜΨΙΜΟΙΡΟΣ

1

ὑπογάστριον

(*τὸ οὖθαρ*) *ὠνόμασεν Ἀντίδοτος ἐν Μεμψιμοίρῳ.* Athenaeus 14, 656e.

ΠΡΩΤΟΧΟΡΟΣ

Cf. Alexidis *Πρωτόχορος*.

2

κατὰ τὴν στάσιν δὴ στάντες ἀκροάσασθέ μου.
πρὶν ἐγγραφῆναι καὶ λαβεῖν τὸ χλαμύδιον,
περὶ τοῦ παρασιτεῖν εἴ τις ἐμπέσοι λόγος,
τὸ τεχνίον ἀεὶ τοῦτό μοι κατεπίνετο,
καὶ παιδομαθὴς πρὸς αὐτὸ τὴν διάνοιαν ἦν.

Athenaeus 6, 240b *Ἀντίδοτος δ' ἐν τῷ ἐπιγραφομένῳ Πρωτοχόρῳ παράγει τινὰ... τοιαῦτα περὶ παρασιτικῆς τέχνης λέγοντα κτλ.* 4. *αἰεὶ* A. *κατεπίνετο* Dalecamp.] *καταπινέτω* A.

1. Mein. *κατὰ στάσιν* '*confertim, denso coetu*'. 2. *πρὶν ἐγγραφῆναι*, sc. *ἐμέ*. Harpocrat. *ληξιαρχικὸν γραμματεῖον... εἰς ὃ ἐνεγράφοντο οἱ τελεωθέντες τῶν παίδων, οἷς ἐξῆν ἤδη τὰ πατρῷα οἰκονομεῖν, παρ' ὃ καὶ τοὔνομα* (*λέγουσι*) *γεγονέναι διὰ τὸ τῶν λήξεων ἄρχειν. λήξεις δ' εἰσὶν οἵ τε κλῆροι καὶ αἱ οὐσίαι.* cf. Isae. 7, 27. Lycurg. Leocr. 76. Aeschin. 1, 44. — *τὸ χλαμύδιον, τὸ ἐφηβικόν.* cf. Philem. 34. 4. Arist. Ach. 484 *καταπιὼν Εὐριπίδην.* Lucian. Iup. trag. 1 *τὸν Εὐριπίδην ὅλον καταπεπώκαμεν.* 5. *παιδομαθής* vocabulum novicium, simili significatione ac *θυμόσοφος* Arist. Nub. 877.

3

λαβόντα θερμοὺς ἐσχαρίτας, πῶς γὰρ οὔ;
τούτους ἀνειλίττοντα βάπτειν εἰς γλυκύν.

Athenaeus 3, 109 c *ἐσχαρίτην. τούτου μνημονεύει Ἀντίδοτος ἐν Πρωτοχόρῳ κτλ. Πρωτοχόρῳ* Schweigh.] *πρωτόχρωι* A. — cf. Aristoph. fr. 125. Crobyl. 2. cum *ἀνειλίττειν* sit *evolvere,* adparet *τοὺς ἐσχαρίτας* coqui solitos fuisse *convolutos,* qualia placentarum genera nos quoque habemus.

ΑΔΗΛΟΥ ΔΡΑΜΑΤΟΣ

4

Θάσιον ἔγχει . .
ὃ γὰρ λαβών μου καταφάγῃ τὴν καρδίαν,
ὅταν πίω τοῦτ', εὐθὺς ὑγιὴς γίνεται.
Ἀσκληπιὸς κατέβρεξεν.

Athenaeus 1, 28 e *Χίου δὲ οἴνου καὶ Θασίου μέμνηται . . . Ἀντίδοτος κτλ.* 2. *ὃ γὰρ ἂν* Iacobs. Add. Ath. 24. *λαβόν* Schweigh. *καταφάγῃ* Iacobs.] *καταφάγει* C. *καταφαγεῖν* Corsel. 3. *γίνεται* C] *γίνομαι* Corsel. *Ἀντίδοτος* Kidd. Porson. Miscell. 390] *ἀντίδοτον.* — scrib. (*καὶ*) *Θάσιον ἔγχει* (*λαβών*)· *ὃ γὰρ ἂν δάκνον μου καταφάγῃ τὴν καρδίαν, ὅταν πίω τοῦδ', εὐθὺς ὑγιὴς γίνεται* (*ἡ καρδία*). *τοῦδε*, non *τοῦτο*, quia *Θάσιος*, non *Θάσιον* dicitur vinum Thasium. 4. eam vim, ut aegros sanaret, *Aesculapius* viti Thasiae *adspersit.*

ΑΥΓΕΑΣ

Meinek. I 416. 7.

ΑΞΙΟΝΙΚΟΣ

Meinek. I 417. 8.

ΤΥΡΡΗΝΟΣ

Titulus fortasse ad epularum luxuriam, qua insignes erant Tyrrheni (Athen. 4, 153 d. 12, 517 d — 518 b), referendus. sed cum *Τυρρηνός*, non *Τυρρηνοί* inscripta sit, magis eo inclino ut *Polystratum,* Theophrasti discipulum, cui Tyrrheno cognomen dederant, significari credam. Athen. 13, 607 f *οἶδα δὲ καὶ Πολύστρατον τὸν Ἀθηναῖον, μαθητὴν δὲ Θεοφράστου, τὸν ἐπικαλούμενον Τυρρηνόν, ὅτι τῶν αὐλητρίδων τὰ ἱμάτια περιέδυεν.*

1

ὁ Πυθόδηλος οὑτοσὶ
ὁ Βαλλίων προσέρχετ' ἐπικαλούμενος,
μεθύουσά τ' ἐξόπισθεν ἡ σοφωτάτη
ἀποτυμπανισχὰς κατὰ πόδας πορεύεται.

Athenaeus 4, 166 c *Πυθοδήλου δέ τινος ἀσώτου μνημονεύει Ἀξιόνικος ἐν Τυρρηνῷ οὕτως κτλ.* 1. 2. *οὑτοσὶ ὁ Βαλλίων* Elmsl. Edinb. Rev. V 192 et Dobr. Arist. Plut. 361 p. 44] *οὗτος ἴσο βαλλίων* A. deinde *ἐπικαλούμενος ἀσωτότατος ἄνθρωπος* A. 4. *παρατίλτρι' Ἰσχὰς* Add. Ath. 109. *αὐλητρὶς Ἰσχὰς* Mein. ipse incertus Anal. Ath. 79. *πρὸς τύμπαν' Ἰσχὰς (σοφωτάτη)* Fritzschius ap. Toeppel. Progr. Neobr. 1857, 22, i. e. *τυμπανίστρια*, conl. Lucian. Somn. 12. *περὶ τύμπαν' Ἰσχὰς* Herwerd. Anal. crit. 43.

2. Cic. Philipp. 2, 6, 15 *dat natalicia in hortis. cui?.. putate tum Phormioni alicui, tum Gnathoni, tum etiam Ballioni.* Rosc. com. 7, 20 *Ballionem illum improbissimum et periurissimum lenonem agit* (Mein.). scilicet Ballio leno est in Plauti Pseudulo. nomen cohaeret cum verbis *βαλλίζειν, βαλλισμός*. Alexid. 107. 4. *Ischas* meretricis nomen vel cognomen est Menandr. 288 Mein., de cuius origine cf. Eupol. 345.

2

οἶνος οὐκ ἔνεστιν
αὐτοῖς πρὸς ἑταίρους πρόφασιν ἐπὶ κῶμόν τινας,
ὅπερ ποιεῖν εἴωθε Γρυλίων ἀεί.

Athenaeus 6, 244 f *Ἀξιόνικος δ' ὁ κωμικὸς ἐν τῷ Τυρρηνῷ (τυρηννικῶι A) Γρυλλίωνος τοῦ παρασίτου ἐν τούτοις μνημονεύει κτλ.* 1. *ἔνεστι νῦν* VL. *οὐκ ἔνεστ' ἔτι | αἰτεῖσθ' ἑταίρους πρόφασιν ἐπὶ κῶμόν τινα* Emperius ap. Mein. V 92. *πρὸς ἑτέρους πρόφασις ἐπὶ κῶμόν τινα* Mein. fortasse *οἶνος οὐκ ἔνεστ' ἔτι | σκύφοις. B. προφαίνεις πρόφασιν ἐπὶ κῶμόν τινα κτλ.* 3. *Γρυλίων* K.] *Γρυλλίων.*

ΦΙΛΕΥΡΙΠΙΔΗΣ

Consilium fabulae ex titulo cognoscitur et fr. 3. Mein. I 417.

3

οὕτω γὰρ ἐπὶ τοῖς μέλεσι τοῖς Εὐριπίδου
ἄμφω νοσοῦσιν, ὥστε τἄλλ' αὐτοῖς δοκεῖν
εἶναι μέλη γιγγραντὰ καὶ κακὸν μέγα.

Athenaeus 4, 175 b *Ἀξιόνικος ἐν Φιλευριπίδῃ κτλ.* 3. *γιγγραντὰ] γίγγρατα* A. *καὶ κακὸν μέγα] κατακεκλασμένα* K. — cf. Antiphan. 108. Amphid. 14.

4

ἄλλον δ' ἰχθὺν
μεγέθει πίσυνόν τινα τοῖσδε τόποις
ἥκει κομίσας
γλαῦκός τις ἐν πόντῳ γαλεοὺς
σῖτον ὀψοφάγων καὶ λίχνων ἀνδρῶν
ἀγάπημα φέρων κατ' ὤμων.
τίνα τῷδ' ἐνέπω τὴν σκευασίαν;
πότερον χλωρῷ τρίμματι βρέξας,
ἢ τῆς ἀγρίας ἅλμης πάσμασι
σῶμα λιπάνας
πυρὶ παμφλέκτῳ παραδώσω;
ἔφα τις ὡς ἐν ἅλμῃ θερμῇ
τοῦτο φάγοι γ' ἑφθὸν ἀνὴρ Μοσχίων φίλαυλος.
βοᾷ δ' ὄνειδος ἴδιον, ὦ Καλαίδη·
σὺ μὲν ἀμφὶ σῦκα καὶ ἀμφὶ τάριχ' ἀγάλλει,
τοῦ δ' ἐν ἅλμῃ παρεόντος οὐ γεύει χαρίεντος ὄψου.

Athenaeus 8, 342b *Φιλέταιρος δ' ἐν Ἀσκληπιῷ τὸν Ὑπερείδην πρὸς τῷ ὀψοφαγεῖν καὶ κυβεύειν αὐτόν φησι, καθάπερ καὶ Καλλίαν τὸν ῥήτορα Ἀξιόνικος* (*ἀξιόνεικος* A) *ἐν Φιλευριπίδῃ κτλ. τὰ μὲν σῦκα ὡς ἂν συκοφάντην λοιδορῶν, τὰ δὲ ταρίχη μήποτε καὶ ὡς αἰσχροποιοῦντος*. 1. *δὲ* A. 4. *γλαῦκος* (om. in ult. acc.) et *γαλοὺς* A. 6. *φέρων* Iacobs.] *φέρω* A. 9. *τῆς ἀργίας*] *τοῖς Θασίας* K. cf. Cratin. 6. *πάσμασι* Erfurdt. Obs. 464] *λιάσμασι* A. *νάμασι* Mein. in Ath. 12. *εφατις* A. *φάτις* Iacobs. *ἐν ἅλμῃ*, sic A. 14. *καλαΐδη* A. *Καλλία*, | *εἰ* Mein. 15. *ἀγάλλῃι* et 16. *γεύῃι* A. 15. *ἀμφί τε σῦκα* et *τάριχ'* A] *ταρίχι'* Mein. 16. *ἐν ἅλμῃ ῥέοντος* K.

insanabiliter plurima corrupta esse videntur Meinekio. 4. *γλαῦκον τοῖς ἐν πόντῳ γαλεοῖς* | *σῖτ', ὀψοφάγων λίχνων τ' ἀνδρῶν* | *ἀγάπημα φέρων κατὰ τῶν ὤμων* amicus Erfurdtii (Dind. add. p. 1897). 8. *τρίμματι*. cf. Alexid. 188. Timocl. 3. Sotad. 1, 4. 17. Diphil. 42, 5 M. 12. *ἔφα τις*, ut Aesch. Ag. 369 *οὐκ ἔφα τις θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν* (Mein.). 13. de *Moschione* cf. Alexid. 236.

ceterum permirum est quomodo Athenaeus his versibus demonstrari posse crediderit Calliam fuisse *aleatorem*. nam Meinekii quidem ratio verbo *κυβεύειν luxuriosam vitam* significari censentis admitti nullo modo potest, cum Athenaeus eum *πρὸς τῷ ὀψοφαγεῖν καὶ κυβεύειν* dicat. sed omnes in hac ecloga et emendandi et interpretandi conatus, cum praesertim ne de metro quidem constet, nihil aliud sunt quam desperationis indicia.

ΦΙΛΙΝΝΑ

Cf. quae ad Hegemonis *Philinnam* adnotantur hui. ed. I 700.

5

γυναικὶ δὴ πίστευε μὴ πίνειν ὕδωρ.

Athenaeus 10, 442 a Ἀξιόνικος ἐν Φιλίννῃ φησί κτλ. i. e. *hoc sane mulieri credere poteris neganti se bibere aquam.* nam si vinum se bibere negaverit, non erit credendum. 'πείθομαί σοι μὴ ἔχειν χρήματα (Xen. Anab. 7, 8, 3) significat πείθομαί σοι ὅτι χρήματα οὐκ ἔχεις. sequiores aut λέγοντι addebant aut alio modo talia omnia formabant (Xen. Hell. 5, 2, 1).' Cobet. N. l. 509.

ΧΑΛΚΙΔΙΚΟΣ

Χαλκιδικός an *Χαλκίς* nomen fabulae fuerit dubitat Meinekius II 533. *Χαλκίς* meretrix ei fuisse videtur comparatis nominibus *Χρυσίς* (Timoclis 25, 4), *Ἀργυρίς* (Theogn. 1212). *Χαλκιδικός* non tam civis est Chalcidensis, ut Meinekio videbatur, sed homo qui Chalcidensium mores imitatur. — fortasse aliquid lucis adferunt Hesychius χαλκιδίζειν... ἐπὶ τῶν παιδεραστούντων, ἐπεὶ ἐπλεόναζον παρ' αὐτοῖς οἱ παιδικοὶ ἔρωτες et Suidas χαλκιδῖτις· ἡ πόρνη· ἀπὸ τῆς εὐτελείας τοῦ διδομένου νομίσματος, quae recte ad comicorum dictionem rettulit Bernhardyus. cf. Eustath. 1329, 37. 1921, 62. Plutarch. Proverb. 1, 84 χαλκιδίζειν· ἐπὶ τῶν γλισχρευομένων (hactenus etiam Suidas). *οἱ γὰρ ἐν Εὐβοίᾳ Χαλκιδεῖς ἐπὶ φιλαργυρίᾳ ἐκωμῳδοῦντο.*

6

ὅτε τοῦ παρασιτεῖν πρῶτον ἠράσθην μετὰ
Φιλοξένου τῆς Πτερνοκοπίδος νέος ἔτ' ὤν,
πληγὰς ὑπέμενον κονδύλων καὶ τρυβλίων
ὀστῶν τε τὸ μέγεθος τοσαύτας ὥστε με
ἐνίοτε τοὐλάχιστον ὀκτὼ τραύματα
ἔχειν· ἐλυσιτέλει γάρ· ἥττων εἰμὶ γὰρ
τῆς ἡδονῆς. ἔπειτα καὶ τρόπον τινὰ
τὸ πρᾶγμά μοι λυσιτελὲς εἶναι νενόμικα.
οἷον φιλερίς τίς ἐστι καὶ μάχεταί τί μοι·
μετεβαλόμην πρὸς τοῦτον, ὅσα τ' εἴρηκέ με
κακῶς ὁμολογῶν εὐθέως οὐ βλάπτομαι.
πονηρὸς ὤν τε χρηστὸς εἶναί φησί τις·
ἐγκωμιάζων τοῦτον ἀπέλαβον χάριν.
γλαύκου βεβρωκὼς τέμαχος ἑφθὸν τήμερον
αὔριον ἕωλον τοῦτ' ἔχων οὐκ ἄχθομαι.
τοιοῦτος ὁ τρόπος ἐστὶν ἡ φύσις τέ μου.

Athenaeus 6, 239 f Ἀξιόνικος δ' ἐν Χαλκιδικῷ (χαλκιδίκῳ A) φησιν κτλ. et 241 e ἦν δὲ καὶ Φιλόξενος τῶν παρασίτων, ὡς Ἀξιόνικος εἶπεν ἐν τῷ Χαλκιδικῷ. 1. ἠράσθην] an ἠψάμην? 3. ὑπέμενον Grotius Excerpt. 821] ὑπομενων A. κονδύλων Schweigh.] κονδυλίων A. fortasse σφονδύλων, quod σπονδύλων scribebatur. nam πληγαὶ κονδύλων vix potest dici, cum praesertim sequatur τρυβλίων et ὀστῶν. 4. ὥστε γε? nam ὥστε με soloecum est. deinde aut 6 ἐλυσιτέλει aut 8 λυσιτελές corruptum videtur. 7. ἔπειτα χἄτερον τρόπον Mein. ed. min. κἄλλον τινὰ τρόπον idem Anal. Ath. 104. 12. πονηρὸς ὤν τ' εἰ Mein. in Anal. praetulerim πονηρὸς ὢν τις χρηστὸς εἶναί φησ' ὅμως.

Philoxenus Eryxidis f. ex Anaxagorae disciplina profectus erat teste Aeschine Athen. 5, 220 b (Mein. I 417. 8), eius familiae, quam etiam Aristophanes inriserat Nub. 686. Ran. 934 et Eupolis 235. Πτερνοκοπίς, i. e. *pernarum pernicies.* cf. Menand. 269 Mein. — cum v. 9 Buechelerus Coni. lat. 19 contulit comici incerti (O. Ribbeck. Com. Rom. fr.[2] 116) fr. 19 *ea est seditiosa, ea cum viro bellum gerit.*

7

τρύβλια, χύτρα, λοπάδιον, ὀξίς, χοῦς, ἀμίς,
λεκάνη, θυΐα, κάνθαρος, σείσων, λύχνος.
B. ὑπηρεσία σοι παντελής, γραῦ, κεραμίων.

Pollux 10, 122 κεραμεῶν σκευῶν ὀνόματα ἐν Ἀξιονίκου Χαλκιδικῷ κτλ. 2. σείσων, Alexid. 134. 3. B. add. Kuhnius.

8

ζωμὸν ποιῶ
θερμὸν ἰχθὺν ἐπαναπλάττων, ἡμίβρωτα λείψανα
συντιθείς, οἴνῳ διαίνων, ἔντερ' ἀλλ καὶ σιλφίῳ
σφενδονῶν, ἀλλᾶντα τέμνω, παραφέρω χορδῆς τόμον,
ῥύγχος εἰς ὄξος πιέζων, ὥστε πάντας ὁμολογεῖν
τῶν γάμων κρείττω γεγονέναι τὴν ἕωλον ἡμέραν.

Athenaeus 3, 95 c Ἀξιόνικος ἐν Χαλκίδι φησί κτλ. 1. ζωμὸν ποιῶ Casaub.] ζωμοποιῶ A. 3. οἴνῳ διαίνων Emperius] οιονται ανω A. ἔντερ' ἀλλ καὶ Seidler.] ἑτεράλικα A. 5. πιέζων Dindf.] πιέζω. sed etiam τέμνων et παραφέρων cum Emperio et v. 1 ποιῶν scribendum est. dixerat enim coquus gloriabundus 'ex vilissimis ac paene corruptis delicatissimos cibos facio, ζωμὸν ποιῶν κτλ.'

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

9

εἰ Μελέαγρος μὲν συγγενεῖς αὑτοῦ δύο
διὰ δέρμ' ὑεικὸν μαχομένους ἀπέκτονεν.

Etymol. Milleri (Mélanges 291) ὡς παριξιονίκῳ κτλ. Etym. m. 775, 30 et Philem. gramm. 172 ὑεικὸν (ὑικὸν) δέρμα οὐχ εὕρηται ἐν χρήσει εἰ μὴ παρὰ Ἀξιονίκῳ, omissis tamen versibus. Cramer. Anecd. Ox. II 270, 15 εἴρηται δὲ καὶ ὑεικὸν δέρμα. — 1. αὑτοῦ K.] αὐτοῦ. 2. δέρμ' Miller.] δέρμα. 3. ὑεικὸν Cram. Anecd.] ὑικόν. ἀπέκτονεν K.] κάκτανε. κατέκτανε Miller. at κατακτείνω ignotum comicis. cf. Antiphan. 191, 10.

10

ὅταν δανείζῃ τις πονηρῷ χρήματα
ἀνὴρ δικαίως τὸν τόκον λύπας ἔχει.

Stobaeus Floril. 2, 2 Ἀξινίκου A. 2. δικαίως] δικαίως αὐτῶν vel αὐτόν. αὐτῶν δ. τὸν τόκον λ. ἔχει A. Nauck. Philol. VI 419. cod. Marcianus δικαίως ἀντί. itaque scribendum χρήματα | δίκαιος, ἀντὶ τῶν τόκων λύπας ἔχει.

ΚΑΛΛΙΚΡΑΤΗΣ

Meinek. I 418.

ΜΟΣΧΙΩΝ

Ab aliis quoque comicis saepe inrisus. cf. Alexid. 236.

1

Athenaeus 13, 586a μνημονεύει δ' αὐτῆς (Σινώπης) ... καὶ Καλλικράτης ἐν Μοσχίωνι.

ΕΠΙΓΕΝΗΣ

Mein. I 354. 5.

ΑΡΓΥΡΙΟΥ ΑΦΑΝΙΣΜΟΣ

Fragmentum in Antiphanis fabula cognomine exscripsimus.

ΒΑΚΧΙΣ

Βάκχαι an *Βακχεία* an *Βακχίας* titulus fuerit dubitat Meinekius I 355. III 537. mihi *Βακχίς* veri simillimum videtur. fuit meretrix quam commemorat Athenaeus 13, 595a. nam antiquiorem illam, de qua cf. Ath. 13, 594b (Archiloch. fr. 18), non puto significari, quamquam quae ibi narrantur optime comoediae conveniunt. cf. Plauti *Bacchides*.

1

εἶτ' ἔρχεται
χελιδονείων μετ' ὀλίγον σκληρῶν ἁδρὸς
πινακίσκος.

Athenaeus 3, 75 c χελιδονείων δὲ σύκων μνημονεύει Ἐπιγένης ἐν Βακχίδι (βραχχίῳ A) κτλ. Plin. N. h. 15, 71 *novissima sub hieme maturatur chelidonia* (ficus).

2

ἀλλ' εἴ τις ὥσπερ χῆνα σιτευτὸν λαβὼν
ἔτρεφέ με —

Athenaeus 9, 384 a Ἐπιγένης ὁ κωμῳδιοποιὸς ἐν Βάκχαις φησίν κτλ. σιτευτὸν λαβὼν | ἔτρεφέ με Dindf.] ἔτρεφέν μοι λαβὼν σιτευτόν A. χῆν' ἐμὲ | ἔτρεφε λαβὼν σιτευτόν Porson. omissa est ἀπόδοσις: '*si quis me ut anserem alebat*', ea non mea culpa est.

3

τὸ σκύφος ἔχαιρον δεχόμενος.

Athenaeus 11, 498 e Ἐπιγένης ἐν Βακχίᾳ κτλ.

ΗΡΩΙΝΗ

I. e. Ἡρῴνη. Cf. Arist. Nub. 315.

4

ἀλλ' οὐδὲ κεραμεύουσι νῦν τοὺς κανθάρους,
ὦ τάλαν, ἐκείνους τοὺς ἁδρούς, ταπεινὰ δὲ
καὶ γλαφυρὰ πάντες, ὡσπερεὶ . . . .
αὐτὰ τὰ ποτήρι', οὐ τὸν οἶνον πιόμενοι.

Athenaeus 11, 474 a Ἐπιγένης Ἡρωίνῃ κτλ. 3. κανθαρίδι' add. Mein., quod ea mensura praesertim (ῐ) nusquam exstat. ὡσπερεὶ P] ὡς περὶ A. ὡσπερεὶ τὰ ποτήρια | αὔτ', οὐ τὸν οἶνον πιόμενοι Pors. 4. πιομένοις Mein. Anal. Ath. 218. mihi πάντες suspectum est: quapropter scribo καὶ γλαφυρὰ πετάχνι', ὡσπερεὶ τὰ ποτήρια | αὔτ', οὐ τὸν οἶνον πιομένοις. de πίομαι cf. Plat. com. 603. et de πετάχνοις Athen. 11, 496 a. Aristoph. fr. 288. Alexid. 59. de sententia Pherecr. 143.

5

τὴν Θηρίκλειον δεῦρο καὶ τὰ Ῥοδιακὰ
κόμισον λαβὼν τοὺς παῖδας. εἰσοίσεις μόνος
ψυκτῆρα, κύαθον, κυμβία, ῥυτὰ τέτταρα,
ἡδυποτίδας τρεῖς, ἠθμὸν ἀργυροῦν.

Athenaeus 11, 502e Ἐπιγένης ἐν Ἡρωίνῃ καταλέγων πολλὰ ποτήρια καὶ τοῦ ψυγέως οὕτως μνημονεύει· τὴν Θηρίκλειον — κυμβία. idem 11, 469c μνημονεύει δ' αὐτῶν (ἡδυποτίδων) καὶ Ἐπιγένης ἐν Ἡρωίνῃ διὰ τούτων· ψυκτῆρα — ἀργυροῦν. in unum fragmentum coniunxit Meinekius. — 2. εἰσοίσεις] εἶτ' οἴσεις Mein. 3. ψυκτήρια A 469. idem κυμβια, ῥυτα, ηθμὸν. Athen. 11, 497e Δωρόθεος ὁ Σιδώνιός φησι τὰ ῥυτὰ κέρασιν ὅμοια εἶναι, διατετρημένα δέ, ἐξ ὧν κρουνιζόντων λεπτῶς κάτωθεν πίνουσιν. et 11, 461b (magna pocula sero in Graeciam invecta narrans) πλὴν τῶν ἐπὶ τοῖς ἡρωικοῖς. τὸ γὰρ ῥυτὸν ὀνομαζόμενον μόνοις τοῖς ἥρωσιν ἀπεδίδοσαν. ignorant vocem quod sciam tragici, comicorum primus Epigenes usurpat. cf. Dionys. 5, 3. Diphil. 5. Epinic. 2, 1. 4. Damox. 1. Demosth. 21, 158.

ΛΥΤΡΟΥΜΕΝΟΣ

Koehler. I. A. 975 V 2 [Ἐπ]ιγέ[ν]ης Λυτρουμένῳ.

ΜΝΗΜΑΤΙΟΝ

Pixodarus, Hecatomni filius natu minimus, Ada sorore expulsa rex Cariae factus est Ol. 109, 4. Diodor. 16, 74, regnavit usque ad Ol. 111, 1. itaque fabulam Epigenes scripsit ante Ol. 109, 4. cf. etiam Mein. I 354. 5.

6

κρατῆρες, κάδοι,
ὁλκεῖα, κρουνεῖ'. B. ἔστι γὰρ κρουνεῖα; A. ναί.
λουτήρι'. ἀλλὰ τί καθ' ἕκαστον δεῖ λέγειν;
ὄψει γὰρ αὐτός. B. βασιλέως υἱὸν λέγεις
Καρῶν ἀφῖχθαι; A. δηλαδή, Πιξώδαρον.

Athenaeus 11, 472ef Ἐπιγένης ἐν Μνηματίῳ φησίν κτλ. et 480a κρουνεῖα. Ἐπιγένης Μνηματίῳ· κρατῆρες — ναί. 486b λουτήριον. Ἐπιγένης Μνηματίῳ ἐν τῷ τῶν ποτηρίων καταλόγῳ φησί· κρατῆρες — αὐτός. 2. κρουνεῖ'] κρουνεῖα A 472 et 480. γὰρ κρουνεῖα, ναί A 480] δὲ κρουνιαναι A 472. 486 v. 2 nihil nisi ολκεῖα κρουνιαναι A. 3. λουτήρι' deest 472 in A. λουτήρια 486. καθ' ἕκαστον A 472] καθ' ἕκαστα A 486. 5. Καρῶν add. Bergkius Mus. Rhen. XXXIIII 329 n. 1. δηλαδη πιξωδαρον A. — cum nomine Πιξώδαρος cf. Ἀμισώδαρος Hom. Il. 16, 328. Πιξόδωρος ὁ Καρίας σατράπης Plutarch. Alex. 10. recte Πιξώδαρος Strab. 14, 656.

ΠΟΝΤΙΚΟΣ

Cf. quae ad Antiphanis Ποντικόν adnotantur.

7

τοὺς τρεῖς μόνους
σκώληκας ἔτι τούτους μ' ἔασον καταγαγεῖν.

Pollux 7, 29 *κατάγειν, κάταγμα. τὸ δ' αὐτὸ καὶ μήρυμα. τῶν δὲ νέων τις κωμικῶν Ἐπιγένης ἐν Ποντικῷ ἔφη κτλ.* 1. *τοὺς* add. K. 2. *μ'*] *δέ μ'* A. — cf. Pherecr. 46.

8

διαπίνειν

προπίνειν. Περιγένης. Hesychius. *Ἐπιγένης* Ruhnken. cf. Mein. V 93. Schol. Apoll. Rhod. 3, 1378. Lobeck. Aglaoph. 341.

Non ad comicum, sed ad grammaticum Epigenem pertinent quae Athenaeus tradit 11, 468c, ubi *ἐπιμένης* A.

ΔΡΟΜΩΝ

Meinek. I 418.

ΨΑΛΤΡΙΑ

1

ὑπερῃσχυνόμην
μέλλων ἀσύμβολος πάλιν δειπνεῖν· πάνυ
αἰσχρὸν γάρ. B. ἀμέλει· τὸν Τιθύμαλλον γοῦν ἀεὶ
ἐρυθρότερον κόκκου περιπατοῦντ' ἔσθ' ὁρᾶν·
οὕτως ἐρυθριᾷ συμβολὰς οὐ κατατιθείς.

Athenaeus 6, 240d *Δρόμων ἐν Ψαλτρίᾳ κτλ.* 1. *ὑπερησχυνόμην* A. 3. *γάρ* add. Schweigh. *γοῦν — ὁρᾶν*] *γ' οὐκ — ὁρᾷν;* K. 5. *ἐρυθριᾳ* A. versum 5 exterminat Herwerd. Obs. crit. 80. immo si deesset desideraretur.

2

ἐπεὶ δὲ θᾶττον ἦμεν ἠριστηκότες,
(ὁ παῖς) περιεῖλε τὰς τραπέζας, νίμματα
ἐπέχει τις, ἀπενιζόμεθα, τοὺς στεφάνους πάλιν
τοὺς ἰρίνους λαβόντες ἐστεφανούμεθα.

Athenaeus 9, 409e *Δρόμων ἐν Ψαλτρίᾳ κτλ.* 1. *ἦμεν ἠριστηκότες*] *ἠριστηκότες ἦμεν*, non *ἦμεν ἠρ. ἦμεν*, A. 2. *ὁ παῖς* add. Porson. *ἡ μὲν* Schweigh. *ἀφεῖλε* Herwerd. Obs. crit. 80. *νίμματα* Dindf.] *νίμματ'* A. 4. *τοὺς ἰρίνους* Casaub.] *δὲ σπορίνους* A. — 'coronantur autem denuo, ut secundis mensis se praeparent.' Mein.

ΔΙΟΔΩΡΟΣ

Meinek. I 418. 9.

ΑΥΛΗΤΡΙΣ

1

ἐπὰν κυάθους πίῃ τις, ὦ Κρίτων, δέκα,
ἀεὶ παρ' ἕκαστον ἐνδελεχῶς τὸ ποτήριον
πίνει τὸ λοιπόν, τοὺς λογισμοὺς δ' ἐξεμεῖ.
ταῦτα σκόπει πρὸς σαυτόν.

Athenaeus 10, 431 c *Διόδωρος ὁ Σινωπεὺς ἐν Αὐλητρίδι κτλ.* 1. *πίῃ* Naek. Choer. 174] *πίνῃ* A. 2. *ἀεὶ* Dobr.] *εἰ* A. *εἶτα* K. 3. *πίνει* Dobr.] *πίνειν* A. *πίνων τ. λογισμοὺς ἐξεμεῖ* Herwerd. Nov. add. 35. *τὸ λοιπὸν*] *τε λοιπὸν* A. *τὸν οἶνον* Naber. Mnem. nov. VIII 266. *δ' ἐξεμεῖ* Dobr.] *δέξαιμι* A. *si quis cyathos decem exhausit, deinde perpetuo ad singula quae porro bibit pocula quanto plus bibit vini, tanto plus sanae rationis evomit.*

ΕΠΙΚΛΗΡΟΣ

Cf. quae ad Antiphanis *'Επίκληρον* adnotavimus.

2

βούλομαι δεῖξαι σαφῶς
ὡς σεμνόν ἐστι τοῦτο καὶ νενομισμένον
καὶ τῶν θεῶν εὕρημα, τὰς δ' ἄλλας τέχνας
οὐδεὶς θεῶν κατέδειξεν, ἀλλ' ἄνδρες σοφοί.
τὸ γὰρ παρασιτεῖν εὗρεν ὁ Ζεὺς ὁ φίλιος,
ὁ τῶν θεῶν μέγιστος ὁμολογουμένως.
οὗτος γὰρ εἰς τὰς οἰκίας εἰσέρχεται
οὐχὶ διακρίνας τὴν πενιχρὰν ἢ πλουσίαν,
οὗ δ' ἂν καλῶς ἐστρωμένην κλίνην ἴδῃ
παρακειμένην τε τὴν τράπεζαν πάνθ' ἃ δεῖ
ἔχουσαν, ἤδη συγκατακλιθεὶς κοσμίως
ἀριστίσας ἑαυτόν, ἐντραγών, πιών,
ἀπέρχετ' οἴκαδ' οὐ καταβαλὼν συμβολάς.
κἀγὼ ποιῶ νῦν τοῦτ'· ἐπὰν κλίνας ἴδω
ἐστρωμένας καὶ τὰς τραπέζας εὐτρεπεῖς
καὶ τὴν θύραν ἀνεῳγμένην, εἰσέρχομαι
ἐνθάδε σιωπῇ, καὶ ποιήσας εὐσταλῆ

ἐμαυτόν, ὥστε μὴ 'νοχλεῖν τὸν συμπότην,
πάντων ἀπολαύσας τῶν παρατεθέντων, πιών,
ἀπέρχομ' οἴκαδ' ὥσπερ ὁ Ζεὺς ὁ φίλιος.
ὅτι δ' ἦν τὸ πρᾶγμ' ἔνδοξον ἀεὶ καὶ καλόν,
ἐκεῖθεν ἂν γνοίη τις ἔτι σαφέστερον.
τὸν Ἡρακλέα τιμῶσα λαμπρῶς ἡ πόλις
ἐν ἅπασι τοῖς δήμοις θυσίας ποιουμένη,
εἰς τὰς θυσίας ταύτας παρασίτους τῷ θεῷ
οὐ πώποτ' ἀπεκλήρωσεν, οὐδὲ παρέλαβεν
εἰς ταῦτα τοὺς τυχόντας, ἀλλὰ κατέλεγεν
ἐκ τῶν πολιτῶν δώδεκ' ἄνδρας ἐπιμελῶς
ἐκλεξαμένη τοὺς ἐκ δύ' ἀστῶν γεγονότας,
ἔχοντας οὐσίας, καλῶς βεβιωκότας.
εἶθ' ὕστερον τὸν Ἡρακλέα μιμούμενοι
τῶν εὐπόρων τινὲς παρασίτους ἑλόμενοι
τρέφειν παρεκάλουν οὐχὶ τοὺς χαριεστάτους
ἐκλεγόμενοι, τοὺς δὲ κολακεύειν δυναμένους
καὶ πάντ' ἐπαινεῖν· οἷς ἐπειδὰν προσερύγῃ,
ῥαφανῖδας ἢ σαπρὸν σίλουρον καταφαγών,
ἴα καὶ ῥόδα φασὶν αὐτὸν ἠριστηκέναι.
ἐπὰν δ' ἀποπάρδῃ μετά τινος κατακείμενος
τούτων, προσάγων τὴν ῥῖνα δεῖθ' αὐτῷ φράσαι,
πόθεν τὸ θυμίαμα τοῦτο λαμβάνει.
διὰ τοὺς τοιούτους τοὺς ἀσελγῶς χρωμένους
τὸ τίμιον καὶ τὸ καλὸν αἰσχρόν ἐστι νῦν.

Athenaeus 6, 239 b *Διόδωρος ὁ Σινωπεὺς ἐν Ἐπικλήρῳ περὶ τοῦ παρασιτεῖν καὶ αὐτὸς οὐκ ἀγλαφύρως τάδε φησίν κτλ.* v. 28 sq. Athenaeus 6, 235 d *ἱστορεῖ Φιλόχορος . . . μνημονεύων τῶν καταλεγομένων τῷ Ἡρακλεῖ παρασίτων, καὶ Διόδωρος ὁ Σινωπεὺς κωμῳδιοποιὸς ἐν Ἐπικλήρῳ.* cf. quae adnotavimus ad titulum Aristophanis Daetalensium. — 2. *τοῦτ' ἀεὶ* G. A. Hirschig. Ann. crit. 16, conl. v. 21. 10. *τὴν* add. Casaub. cf. 14. 15. 11. *συγκατακλιθεὶς* Dobr. Adv. II 310] *κατακλιθεὶς* A. *κατακλιθεὶς καὶ* Schweigh. *κατακλιθεὶς μάλα* Mein. Anal. Ath. 104. *κατακλινεὶς* Herwerd. Obs. crit. 81. 12. *ἀριστίσας* V] *ἀριστήσας* A. *πιών* Grot. Excerpt. 837] *ἐμπιών* A. 14. *ποῶ νῦν τοῦτο* A. 16. *ἀνεωγμένην εἰσέρχομ'* A. 18. *'νοχλεῖν* P] *ἐνοχλεῖν* A. 19. an *φαγών,* | *πιὼν ἀπέρχομ' ὥσπερ κτλ.*? 21. *πρᾶγμα* A. *καὶ* om. idem. 24. *δήμοις* Casaub.] *δήμοισι* A. deinde *ποιουμένης* A. 27. *κατέλεγ'* A. 29. *δύ' ἀστῶν* Cobet. Orat. 61 et N. l. 121] *δυαστῶν* A. 30. *οὐσίας* marg. Q Villebr.] *θυσίας* A. 32. *τινὲς* Casaub.] *τινὰς* A. 35.

ἐπειδὰν προσερύγῃ K.] *ἐπειδὴ προσερύγοι* A. *ἐπεὶ μὲν* Mein. Anal. Ath. 104. *ἐπεί τις* Herwerd. Obs. crit. 81, perperam: nam solius patroni fert tales iniurias parasitus. 36. *ἢ* Dindf.] *καὶ* A. 37. *ῥόδα* A. *φασὶν* K.] *ἔφασαν* A. 38. *ἐπὰν* K.] *ἐπειδ' ἂν* A. *ἀποπάρδῃ* A. 39. *τούτων* Dobr.] *τούτῳ* A. *δεῖθ' αὐτῷ* K.] *δεῖ ταυτῷ* A. 42. *νῦν*] *νυνί* A.

de *parasitis* illis *antiquioribus* cf. Polemonis aliorumque apud Athenaeum 234d—235d testimonia. 26. non casui dicit neque sorti urbem commisisse, qui parasiti faciendi viderentur, sed accurate unumquemque elegisse. 38. *si* patronus *cum aliquo horum* qui nunc sunt parasitorum *accumbens pepedit,* parasitus *ab eo petit ut dicat* cet. — ita ut fecimus poetae verba refingenda esse manifesto docet codicis A v. 38. 9 testimonium.

ΜΑΙΝΟΜΕΝΟΣ ΝΕΚΡΟΣ

Utramque fabulam Diotimo archonte, i. e. Ol. 106, 3 in scaenam commisit histrione usus Aristomacho. C. I. I 354. Meinek. I 419. Koehler. I. A. n. 972.

ΠΑΝΗΓΥΡΙΣΤΑΙ

A Suida solo commemorata ex Athenaei libro 12, ubi hodie nullum eius vestigium. scripsit eo nomine fabulam Bato, *Πανήγυριν* Philemo. Meinek. I 419.

ΑΔΗΛΟΥ ΔΡΑΜΑΤΟΣ

3

ἐγὼ μὲν οὖν τὸν νόμον ἐμαυτῷ τουτονὶ
τίθεμαι δοκιμάζων, ὥσπερ εἴρηται ποιεῖν·
κρεῖττον γάρ ἐστιν εὖ τεθραμμένην λαβεῖν
γυναῖκ' ἄπροικον ἢ κακῶς μετὰ χρημάτων,
τὴν ἐσομένην καὶ ταῦτα μέτοχον τοῦ βίου.

Stobaeus Floril. 72, 1 *Διοδώρου* A. 1. *τουτονὶ* Gesn. marg.] *τοῦτον.* 4. *κακῶς*] *κακὴν* Grotius. at supplendum (*κακῶς*) *τεθραμμένην.* 5. *καὶ ταῦτα*] *μετὰ ταῦτα* Mein. in Stob. cf. quae adnotavimus ad Arist. Ran. 704. — 2. *εἴρηται*, in eis scil. quae perierunt.

ΔΙΟΝΥΣΙΟΣ

Meinek. I 419. 20.

ΑΚΟΝΤΙΖΟΜΕΝΟΣ

Ἀκοντιζομένη est Antiphanis, *Acontizomenos* Cn. Naevii. Mein. I 420. O. Ribbeck. Com. Rom. fr.[2] 5.

1

ὥστ' ἐνίοτ' ἂν τούτοισι ποιῶν ματτύην
σπεύδων ἅμ' εἰσήνεγκα διαμαρτὼν μίαν
ἄκων περιφορὰν τῶν νεκρῶν ὡς τὸν νεκρόν.

Athenaeus 14, 664 d *Διονύσιος ἐν Ἀκοντιζομένῳ· μάγειρος δ' ἐστὶν ὁ λέγων κτλ.* 1. *τούτοισι* VL] *τούτου τοῖσι* A. Xenoph. Cyr. 2, 2, 4 *περιέφερε τὸ τρίτον, ὅπερ δὴ λοιπὸν ἦν τῆς περιφορᾶς.* sunt singula fercula singulis convivis oblata. quamquam densa caligine haec premuntur, tamen veri simile est coquum gloriari se mattya aliquando adparata damnum uno ferculo admissum sarsisse. cf. Philem. 79, 25.

ΘΕΣΜΟΦΟΡΟΣ

Titulus quid significet ambiguum est.

2

σφόδρα μοι κεχάρισαι, Σιμία, νὴ τοὺς θεούς,
ταυτὶ προείπας· τὸν μάγειρον εἰδέναι
πολὺ δεῖ γὰρ ἀεὶ πρότερον οἷς μέλλει ποιεῖν
τὸ δεῖπνον ἢ τὸ δεῖπνον ἐγχειρεῖν ποιεῖν·
ἂν μὲν γὰρ ἕν τις τοῦτ' ἐπιβλέψῃ μόνον
τοὔψον ποιῆσαι κατὰ τρόπον πῶς δεῖ, τίνα
τρόπον παραθεῖναι δ' ἢ πότ' ἢ πῶς σκευάσαι
δεῖ, μὴ προΐδηται τοῦτο μηδὲ φροντίσῃ,
οὐκέτι μάγειρος, ὀψοποιὸς δ' ἐστί που·
οὐ ταὐτὸ δ' ἐστὶ τοῦτο· πολὺ διήλλαχεν·
. . στρατηγὸς πᾶς καλεῖθ' ὃς ἂν λάβῃ
δύναμιν, ὁ μέντοι δυνάμενος κἂν πράγμασιν
ἀναστραφῆναι καὶ διαβλέψαι τί που
στρατηγός ἐστιν, ἡγεμὼν δὲ θάτερον,
οὕτως ἐφ' ἡμῖν σκευάσαι μὲν ἢ τεμεῖν
ἡδύσμαθ' ἑψῆσαί τε καὶ φυσᾶν τὸ πῦρ

ὁ τυχὼν δύναιτ' ἄν, [ὀψοποιὸς δ' οὖν μόνον
ἔστιν ὁ τοιοῦτος,] ὁ δὲ μάγειρος ἄλλο τι.
συνιδεῖν τόπον, ὥραν, τὸν καλοῦντα, τὸν πάλιν
δειπνοῦντα, πότε δεῖ καὶ τίν' ἰχθὺν ἀγοράσαι
. . . . . πάντα μὲν λήψει σχεδὸν
ἀεὶ γάρ, οὐκ ἀεὶ δὲ τὴν τούτων χάριν
ἔχεις ὁμοίαν, οὐδ' ἴσην τὴν ἡδονήν.
'Αρχέστρατος γέγραφέ τε καὶ δοξάζεται
παρά τισιν οὕτως ὡς λέγων τι χρήσιμον,
τὰ πολλὰ δ' ἠγνόηκε κοὐδὲ ἓν λέγει.
μὴ πάντ' ἄκουε μηδὲ πάντα μάνθανε
τῶν βυβλίων ὅσ' ἐστὶ καταγεγραμμένα·
κενὰ μᾶλλον ἢ ὅτ' ἦν οὐδέπω γεγραμμένα
οὐδ' ἔστιν εἰπεῖν περὶ μαγειρικῆς· ἐπεὶ
εἶπ' ἀρτίως . . . .
ὅρον γὰρ οὐκ ἔσχηκεν, οὗ ὁ καιρός,
αὐτὴ δ' ἑαυτῆς ἐστι δεσπότης· ἐὰν δ'
εὖ μὲν σὺ χρήσῃ τῇ τέχνῃ, τὸν τῆς τύχης
καιρὸν δ' ἀπολέσῃς, παραπόλωλεν ἡ τέχνη.
ΣΙΜ. ἄνθρωπε, μέγας εἶ. Α. τουτονὶ δ' ὃν ἀρτίως
ἔφης ἔχοντα πεῖραν ἥκειν πολυτελῶν
πολλῶν τε δείπνων ἐπιλαθέσθαι, Σιμία,
πάντων ποιήσω, θρῖον ἂν δείξω μόνον
παραθῶ τε δεῖπνον ὄζον αὔρας 'Αττικῆς.
ἐξ ἀντλίας ἥκοντα καὶ γέμοντ' ἔτι
φορτηγικῶν μοι βρωμάτων κἀγωνίας
τὴμῇ ποιήσω νυστάσαι παροψίδι.

Athenaeus 9, 404e καὶ ὁ παρὰ Διονυσίῳ (διονύσῳ A) δὲ ἐν Θεσμοφόρῳ μάγειρος...τί φησιν; κτλ. 1. κεχάρισαι Σι(μ)μία Porson.] καὶ χάρις αἰεὶ μία A. 3. αἰεὶ A. 5. ἂν Casaub.] ἐὰν A. 6. scribendum τίνα (quae) | τίσιν παραθ. et πότ' ἢ ποῦ σκευάσαι, *qui cibi et quibus adponendi ac quando et ubi parandi sint.* 7. δ' ἢ πότ' Mein.] δέ ποτε A. 8. δεῖ add. Mein. προΐδηται Dobr.] προίδητε A. 9. ἐστί που Mein.] ἐστίν A. ἐστίν· οὐ ταὐτὸν γάρ ἐστι Dobr. 11. διήλλαχεν, πολύ. Mein. καὶ γὰρ Casaub. melius videtur ὡς γὰρ στρατ. — ἡγεμὼν δὲ θάτερον, οὕτως (15) κτλ. 15. ἐφ'] ἐν K. ἐφ' ἡμῖν· σκευάσαι κτλ. Mein. An. Ath. 176. 16. ἡδύσματα A. 17. οὖν L] οὐ A. mihi verba ὀψοποιὸς — τοιοῦτος eicienda videntur, utpote perperam repetita ex v. 9. 21. οὐ τοῦ τυχόντος supplet Dobr. mihi ὁ δὲ μάγειρος ἄλλο τι, συνιδεῖν

— *ἀγοράσαι μόνος πέφυκεν* scribendum videtur. 22. *αἰεὶ* bis A. *χάριν* Iacobs. Add. Ath. 213] *ἀρχὴν* A. *ἀκμὴν* Iacobs. ap. Schweigh. 23. *ἔχεις* Iacobs.] *ἔχει θ'* A. *ἕξεις* Mein. An. Ath. 176. 24. *γέγραφέ* B] *γέγραφέν* A. *τε*] *τι* Mein. in Ath. 28. *τῶν βιβλίων* Emperius] *βιαίων* A. *ὅσ' ἐστὶ καταγεγραμμένα* K.] *ἐσθ' ἕνεκα τὰ γεγραμμένα* A. de v. 29 quem solus addit A despero, nisi quod cum eis quae sequuntur coniungendum esse suspicor. *κενὰ μᾶλλόν ἐστιν οὐδέπω γεγραμμένων* Emperius. 32. *οὗ ὁ καιρός* A] *οὐδὲ κύριον* Mein. Menand. praef. xvi. *οὐδ' ὁ κύριος* Dindf. (*οὐχ ὁ κύριος* Schweigh.). *ἧς ὁ καιρός, οὐκ | αὐτη δ' ἑαυτῆς κτλ.* Herwerd. Anal. crit. 44. 33. *δεσπότης* A] *δεσπότις* P. 34. *τύχης* Mein.] *τέχνης* A. 35. *καιρὸν δ'* Casaub.] *δὲ καιρὸν* A. *προσαπόλωλεν* G. A. Hirschig. 36. *μέγας* Adam. ap. Villebr.] *μέγας γὰρ* A. *δὲ* A. 38. *Σιμία* Mein.] *σήμεια* A. 40. *τε* add. V L. 41. *δ'* post *ἀντλίας* add. Fritzsch. Com. gr. fr. 8. *ἥκοντα* Mein.] *ἥκοντι* A. *γέμοντ' ἔτι* Mein.] *γεμωντετι* A. fortasse *ἥκοντι καταγέμοντί τε* (suspens. a *παραθῶ*) Mein. Anal. Ath. 176. 42. *φορτηγικῶν* Mein.] *φορτητικῶν* A. *κἀγωνίας* Fritzsch.] *ἀγωνίαις*. 43. *τήμῃ* Fritzsch.] *εἰ μὴ* A. *νυστάσαι*] *ποππύσαι* vel aliquid eiusmodi. v. 43 ante 41 transponendum censebat Mein.

conloquitur erus cum coquo: dixerat ante de amicis quos exspectaret, inprimis de opulento aliquo transmarino lautissimarumque epularum perito (36 sq.).

2. *προείπας*, ut Philem. 42, 3 *εἴπας*. 3. *πολύ* coniungendum cum *πρότερον*. 5. gravissimum coquo esse dicit scire *quis* sit invitatus et quem gustum habeant ei qui sint vocati. cf. 19. 36. 21. *λήψει*, *emere poteris*. 24. *Archestratus* Syracusanus vel Gelensis, cuius reliquias conlegit W. Ribbeck. Progr. Berol. 1877. 27. *noli ex libris discere omnia quae* (in illis) *perscripta sunt*. 28. de sententia cf. Sotad. 1, 34. 5. 30. negat de arte sua scribi posse, cum ne dicere quidem apte de ea facile sit: tam variam et multiplicem esse. neque definiri posse, quae semper opportunitati pareat. 42. *φορτηγικούς* cibos dicit quibus in *πλοίῳ φορτηγικῷ* (Xen. Hell. 5, 1, 21. Poll. 1, 83) vescuntur.

ΟΜΩΝΥΜΟΙ

3

ἄγε δὴ Δρόμων, νῦν εἴ τι κομψὸν ἢ σοφὸν
ἢ γλαφυρὸν οἶσθα τῶν σεαυτοῦ πραγμάτων,
φανερὸν ποίησον τοῦτο τῷ διδασκάλῳ.
νῦν τὴν ἀπόδειξιν τῆς τέχνης αἰτῶ σ' ἐγώ.
εἰς πολεμίαν ἄγω σε· θαρρῶν κατάτρεχε·
ἀριθμῷ διδόασι τὰ κρέα καὶ τηροῦσί σε.
τακερὰ ποιήσας ταῦτα καὶ ζέσας σφόδρα,

τὸν ἀριθμὸν αὐτῶν, ὡς λέγω σοι, σύγχεον.
ἰχθὺς ἁδρὸς πάρεστι· τἀντός ἐστι σά.
κἂν τέμαχος ἐκκλίνῃς τι, καὶ τοῦτ' ἐστὶ σόν,
ἕως ἂν ἔνδον ὦμεν· ὅταν ἔξω δ', ἐμόν.
ἐξαιρέσεις καὶ τἄλλα τἀκόλουθ' ὅσα
οὔτ' ἀριθμὸν οὔτ' ἔλεγχον ἐφ' ἑαυτῶν ἔχει,
περικόμματος δὲ τάξιν ἢ θέσιν φέρει,
εἰς αὔριον σὲ κἀμὲ ταῦτ' εὐφρανάτω.
λαφυροπώλῃ παντάπασι μεταδίδου,
τὴν πάροδον ἵν' ἔχῃς τῶν θυρῶν εὐνουστέραν.
τί δεῖ λέγειν με πολλὰ πρὸς συνειδότα;
ἐμὸς εἶ μαθητής, σὸς δ' ἐγὼ διδάσκαλος.
μέμνησο τῶνδε καὶ βάδιζε δεῦρ' ἅμα.

Athenaeus 9, 381 bc *πάντα τὰ ἐντοσθίδια μετὰ τῆς ἐξαιρέσεως (εἴρηται γὰρ καὶ ἡ ἐξαίρεσις...) διακλύσας ἐπιμελῶς οἴνῳ πολλάκις ἐκρέμασα...τὴν δ' ἐξαίρεσιν Διονύσιος ὁ κωμῳδιοποιὸς ἐν τοῖς Ὁμωνύμοις τῷ δράματι οὕτως εἴρηκε ποιήσας τινὰ μάγειρον πρὸς τοὺς μαθητὰς διαλεγόμενον κτλ.* 1. *δρίμων* A. 6. *τηρουσησε* A. 7. *τακερὰ* Casaub.] *τὰ κρέα* A. 10. *ἐκκλίνῃς* A. *ἐκκλέψῃς* Herwerd. Obs. crit. 81 'parum probabiliter' Mein. Anal. Ath. an *ἐκκλύσῃς*? ut Ath. *διακλύσας*. 11. *ἔξω δ'* Schweigh.] *δ' ἔξω* A. 13. *οὔτ' ἀριθμὸν* Dindf.] *οὐδὲ ἀριθμὸν* A. 15. *εὐφρανάτω* Grotius] *εὔφρανα τῶι* A. 18. *τὰ πολλὰ* A. Nauck. Philol. VI 420 conl. Babr. 95, 24. Wyttenb. Iulian. in Const. p. 141 sq.

fallitur Athenaeus coquum cum discipulis conloqui narrans. immo ianitor (cf. v. 17) coquo furandi artem exponit. 5. *κατάτρεχε* ut de incursione hostili. 6. *ἀριθμῷ* 'i. e. *numeratas*' carnes Mein. 8. *ὡς λέγω σοι*, ut et saepe antehac tibi dixi et nunc dico. iubetur coquus eri *numeros* confundere ita ut carnes particulas diutius coquendo dissolvat. 11. *ἔξω, τῶν θυρῶν δηλονότι.* 14. *περικόμματα* '*hic* dicuntur particulae e singulis cibis decerptae et furto ablatae.' Casaub. cf. Arist. Eq. 372. 16. Emperii et Herwerdeni coniecturae (Mein. V 93. Anal. crit. 44) parum habent probabilitatis. scr. *ταῦτ' εὐφρανάτω λάφυρα* (*praedae loco, als Kriegsbeute*)· *κωλῆς παντάπασι μεταδίδου*, sc. *ἐμοί*.

4

Κηφισόδωρόν φασιν ἐπικαλούμενον
πλάνον τιν' ἐν Ἀθήναις γενέσθαι, τὴν σχολὴν
εἰς τοῦτο τὸ μέρος τοῦ βίου καταχρώμενον.
τοῦτον ἐντυχόντα πρὸς τὸ σιμὸν ἀνατρέχειν,
ἢ συγκαθεῖναι τῇ 'πὶ τῇ βακτηρίᾳ.

Athenaeus 14, 615 ef *Διονύσιος μὲν ὁ Σινωπεὺς ὁ τῆς κωμῳδίας ποιητὴς ἐν τῷ ἐπιγραφομένῳ Ὁμώνυμοι* (*ὁμονύμωι* A) *μνημονεύει Κηφισοδώρου τοῦ πλάνου διὰ τούτων κτλ.* Eustathius 1382, 40 *ὁ πλάνος..τέχνην αὐτὸς ἔχων τινὰ καὶ τὸ ἀποπλανᾶν τοὺς θεωμένους* (!), *ὁποῖοι Κηφισόδωρός τις καὶ Πανταλέων.* 1. *φησιν* A. 5. *τηπι* A. *ἥσυχα καθεῖναι* (intransitive) Iacobs. Add. Ath. 328. alia Dobraeus et Emperius. scr. *τοῦτον ταχὺν ὄντα πρὸς τὸ σ. ἀνατρέχειν, ἥσυχα δὲ κατιέναι ᾽πὶ τῇ β.* scilicet aliter omnia atque ceteri homines Cephisodorus faciebat.

2. Lucian. Prometh. 4 *τὴν ἐν μέσῳ ταύτην σχολὴν ἐς ἀκρόασιν καταχρήσασθαι,* quo exemplo concidit Herwerdeni (Obs. crit. 81) emendatio *τῇ σχολῇ.* *εἰς τοῦτο τὸ μέρος in hanc vitae condicionem (Lebensberuf).* 4. *τὸ σιμόν* est *clivus arcis.* cf. Aristoph. fr. 74.

ΣΩΙΖΟΥΣΑ

Vel fortasse *Σώτειρα.* cf. fr. 6.

5

ὅσα δ᾽ ἐστὶν εἴδη Θηρικλείων τῶν καλῶν,
γύναι, δικότυλοι, τρικότυλοι, δεῖνος μέγας
χωρῶν μετρητήν, κυμβίον, σκύφοι, ῥυτά.
B. ποτήρι᾽ ἡ γραῦς, ἄλλο δ᾽ οὐδὲ ἓν βλέπει.

Athenaeus 11, 467 d *Διονύσιος ὁ Σινωπεὺς ἐν Σῳζούσῃ καταλέγων ὀνόματα ποτηρίων μνημονεύει καὶ τούτου* (*τοῦ δείνου*) *λέγων οὕτως κτλ.* 11, 497 c *Διονύσιος ὁ Σινωπεὺς ἐν Σῳζούσῃ καταλέγων τινὰ ποτήρια καὶ τοῦ ῥυτοῦ ἐμνήσθη ὡς προεῖπον.* 1. *δὲ* A. 2. *γύναι*] *κοτύλαι* Mein. fortasse *κύμβαι.* Athen. 483 a *κύμβη· Φιλήμων ἐν ταῖς Ἀττικαῖς φωναῖς κύλικος εἶδος.* 3. *μετρήτην* A.

6

πρὸς τὸν τελευτήσανθ᾽ ἕκαστος, κἂν σφόδρα
ζῶν ἐχθρὸς ᾖ τις, γίνεται φίλος τότε.

Stobaeus Floril. 125, 8 *Διονυσίου Σωτείρας* A. cf. Mein. I 429. 2. *ζῶν* Mein.] *ὤν.* *ᾖ*] *ἦν* B. — *τότε, ὅταν ἀποθάνῃ* (*ὁ ἐχθρός*). falso Dionysio tragico adsignavit Welckerus Trag. gr. III 1233.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

7—11

ἔπειτα δ᾽ οὐδὲ τοῦτο γινώσκεις ὅτι
τοῖς οὐδὲν οὖσιν οὐδὲ εἷς ὅλως φθονεῖ;
. . . .

ἀεὶ τὰ σεμνὰ πάντα κέκτηται φθόνον.
. . . .
ἅπαν τὸ λίαν συνετόν ἐστ' ἐπίφθονον.
. . . .
λιτὸς γενόμενος τοῖς ἔχουσι μὴ φθόνει.
. . . .
εἰσίν τινες νῦν οὓς τὸ βασκαίνειν τρέφει.

Stobaeus Floril. 38, 2 *Διονυσίου* A et 6 *Διονυσίου* A. Voss. 3. *κέκτηνται* A. 5. *λιτὸς γενόμενος*] *αὐτὸς πενόμενος* G. A. Hirschig. Ann. crit. 17. dubium est ad tragicum haec an ad comicum pertineant: quamquam duo ultimi magis comoediae speciem referunt.

ΕΡΙΦΟΣ

Meinek. I 420. 1.

ΑΙΟΛΟΣ

1

λόγος γάρ ἐστ' ἀρχαῖος οὐ κακῶς ἔχων.
οἶνον λέγουσι τοὺς γέροντας, ὦ πάτερ,
πείθειν χορεύειν οὐ θέλοντας.

Athenaeus 4, 134 c *Ἐρίφῳ τῷ κωμικῷ ἐν Αἰόλῳ εἰρημένα τάδε κτλ.* Eustathius 1770, 7 *τὸ τοῦ κωμικοῦ Ἐρίφου, εἰπόντες* (scr. *εἰπόντος*) *ὅτι κτλ.* 3. *οὐκ ἐθέλοντας* Eust. poeta anon. Ath. 10, 428 a *οἶνος ἄνωγε γέροντα καὶ οὐκ ἐθέλοντα χορεύειν*, unde *κοὐκ ἐθέλοντας* Mein. in Ath.

ΜΕΛΙΒΟΙΑ

Nescio an huc pertineant quae Servius narrat Verg. Aen. 1, 724: *Meliboea et Alexis amore se mutuo dilexerunt et iuramento se adstrinxerunt ut cum tempus nuptiarum venisset sibimet iungerentur. sed cum virginem parentes sui alii despondissent,.. Alexis.. spontaneum subiit exsilium. virgo autem ipso nuptiarum die semet de tecto praecipitavit. quae cum inlaesa decidisset, in fugam conversa pervenit ad litus ibique scapham adscendit, ex qua sponte funes soluti esse dicuntur: voluntate itaque deorum pervecta est ubi amator morabatur: quam cum ille... suscepisset,... templum constituit* (Veneri Automatae). cf. E. Rohde, Griech. Rom. 41.

2

[καὶ περὶ μὲν ὄψου γ' ἠλίθιον τὸ καὶ λέγειν
ὥσπερ πρὸς ἀπλήστους.] ἀλλὰ ταυτὶ λάμβανε,
παρθένε, τὰ μῆλα. Β. καλά γε. Α. καλὰ δῆτ', ὦ θεοί.
νεωστὶ γὰρ τὸ σπέρμα τοῦτ' ἀφιγμένον
εἰς τὰς Ἀθήνας ἐστὶ παρὰ τοῦ βασιλέως.
Β. παρ' Ἑσπερίδων, ᾤμην γε. Α. νὴ τὴν Ἄρτεμιν,
φασὶν τὰ χρυσᾶ μῆλα ταῦτ' εἶναι. Β. τρία
μόνον ἐστίν. Α. ὀλίγον τὸ καλόν ἐστι πανταχοῦ
καὶ τίμιον. Β. τούτων μὲν ὀβολόν, εἰ πολύ,
τίθημι. λογιοῦμαι γάρ. Α. αὗται δὲ ῥόαι.
Β. ὡς εὐγενεῖς. Α. τὴν γὰρ Ἀφροδίτην ἐν Κύπρῳ
δένδρον φυτεῦσαι τοῦτό φασιν ἓν μόνον.
Β. βέρβεια πολυτίμητε. κᾆτα τρεῖς μόνας
καὶ τάσδ' ἐκόμισας; Α. οὐ γὰρ εἶχον πλείονας.

Athenaeus 3, 84 b ὅτι δ' ὄντως ἐκ τῆς ἄνω χώρας ἐκείνης κατέβη εἰς τοὺς Ἕλληνας τὸ φυτὸν τοῦτο (τὰ κίτρια μῆλα) ἔστιν εὑρεῖν λεγόμενον καὶ παρὰ τοῖς τῆς κωμῳδίας ποιηταῖς, οἳ καὶ περὶ μεγέθους αὐτῶν τι λέγοντες τῶν κιτρίων μνημονεύειν φαίνονται. Ἀντιφάνης μὲν ἐν Βοιωτίδι (fr. 58). Ἔριφος δ' ἐν Μελιβοίᾳ αὐτὰ ταῦτα τὰ ἰαμβεῖα προθεὶς ὡς ἴδια τὰ τοῦ Ἀντιφάνους ἐπιφέρει κτλ. de v. 1—9 cf. Antiphan. 58. 10. ῥόαιγ' A. 13. βερβεαι A. ἕρμαια πολυτίμητα Seidler. κᾆτα] κατὰ A. 14. τάσδε κομίσας A. εἶχεν, scil. τὸ δένδρον, G. A. Hirschig. Ann. crit. 17. — βέρβεια vel simile fortasse nomen Veneris fuit apud Cyprios. πολυτίμητος enim epitheton est deorum. Arist. Nub. 293. 328. Av. 667. Ran. 324.

3

ταῦτα γὰρ οἱ πένητες οὐκ ἔχοντες ἀγοράσαι
ὑπογάστριον θύννακος, οὐδὲ κρανίον
λάβρακος, οὐδὲ γόγγρον, οὐδὲ σηπίας,
ἃς οὐδὲ μάκαρας ὑπερορᾶν οἶμαι θεούς.

Athenaeus 7, 302 e Ἔριφος Μελιβοίᾳ κτλ. et om. auctoris fabulaeque nomine Eustathius 1720, 59 οἱ πένητες κτλ. unde Dobr. Ἔρ. Μ. ταῦτα γράφει· οἱ πένητες κτλ. 1. ταῦτα γὰρ] ταῦθ' Casaub. ταῦτ' ἄρα πένητες H. Iacobi V 94. ταῦτα γὰρ | οἱ μὲν πένητες Mein. An. Ath. 134. ἀτὰρ οἱ π. K. 4. μάκαρας BC Eust.] μακρανη A. — verbum finitum in eis sequebatur quae Athenaeus omisit, nisi forte scribendum est ἔχουσιν.

4

ἐκπεπήδηκας πρὶν ἀγαθοῦ πρῶτα δαίμονος λαβεῖν,
πρὶν Διὸς σωτῆρος.

Athenaeus 15, 693 c *Ἔριφος Μελιβοίᾳ κτλ.* 1. *ἐκπεπήδηκας* Cobet. N. l. 121. 2] *ἐκπεπίῃ δέκας* A. *πρῶτα* Dindf.] *πρῶτον* A. — exprobrat nescio quis alteri, quod e domo sua eruperit, priusquam cet. cf. Arist. Eq. 604. Eubul. 2. Menand. 387 Mein.

5

ἡματῶσθαι

Ἔριφος Μελιβοίᾳ. Bekker. Anecd. 98, 26 (*ἡματ.* cod.). cf. Arist. Pac. 1020. Ran. 476.

Cf. praeterea fr. 7.

ΠΕΛΤΑΣΤΗΣ

Cf. Meinek. I 420. 1. est etiam Ephippi *Πελταστής*, ubi cf. quae adnotantur.

6

τάδ' οὐ Κόρινθος οὐδὲ Λαΐς, ὦ Σύρε,
οὐδ' εὐτραπέζων Θετταλῶν ξένων τροφαί,
ὧν οὐκ ἄμοιρος ἥδε χεὶρ ἐγίνετο.

Athenaeus 4, 137 d *εὐτράπεζοι δ' εἰσὶν ὄντως οἱ Θετταλοί, καθὰ καὶ Ἔριφός φησιν ἐν Πελταστῇ οὕτως κτλ.* Eustathius 331, 14 *δῆλον ἐκ τοῦ· τάδ' οὐ Κ. — οὐδ' εὐτρ. Θετταλῶν χείρ.* 1. *οὐδὲ* Dindf.] *οὔτε* A. 2. *τροφαί, ὧν*] *τροφεων* A. *τρυφαί, ὧν* Mein. Anal. Ath. 67. — cf. *τάδ' οὐχὶ Πελοπόννησος, ἀλλ' Ἰωνία.*

ΑΔΗΛΟΥ ΔΡΑΜΑΤΟΣ

7

ᾠά. B. λευκά γε
καὶ μεγάλα· χήνει' ἐστίν, ὥς γ' ἐμοὶ δοκεῖ.
A. οὗτος δέ φησι ταῦτα τὴν Λήδαν τεκεῖν.

Athenaeus 2, 58 a *χηνείων δ' ᾠῶν Ἔριφος (μνημονεύει) κτλ.* Eustathius 1686, 43 *Ἔριφος, λόγιος δὲ ἦν καὶ αὐτὸς ἀνήρ, χήνεια ληρεῖ ᾠὰ λευκά τε καὶ μεγάλα τὴν Λήδαν τεκεῖν.* 1. *λευκά* om. Eust. ed. Lips. *γε*] *τε* Eust. personarum notas add. K. conl. fr. 2, 3. 7. ad Meliboeam propter similitudinem fr. 2 referebat Meinekius.

ΕΥΒΟΥΛΙΔΗΣ

Meinek. I 421.

ΚΩΜΑΣΤΑΙ

1

σοφιστιᾷς, κάκιστε, καὶ Χοῶν δέει
τῶν μισθοδώρων, οὐκ ἀδείπνων ἐν τρυφῇ.

Athenaeus 10, 437 d *τῇ ἑορτῇ τῶν Χοῶν ἔθος ἐστὶν Ἀθήνησι πέμπεσθαι δῶρά τε καὶ τοὺς μισθοὺς τοῖς σοφισταῖς, οἵπερ καὶ αὐτοὶ συνεκάλουν ἐπὶ ξενίᾳ τοὺς γνωρίμους, ὥς φησιν Εὐβουλίδης ὁ διαλεκτικὸς ἐν δράματι Κωμασταῖς οὕτως κτλ.* 1. *δέει* Dindf.] *δέηι* A. *οὐκ ἀδείπνῳ σὺν τρυφῇ* Emper. Mein. V 94. *σῦκα δειπνῶν ἐν τρ.* Mein. in Ath. 'qui in aliorum luxurie vili cibo vesceris.' *ἐντρυφᾷς* Porson. *σῦκα δειπνῶν ἐντρυφᾷς* Dobr. quae omnia non sufficiunt. *σοφιστιᾷς*, i. e. sophistae condicionem adpetis.

ΗΝΙΟΧΟΣ

Meinek. I 421. 2.

ΓΟΡΓΟΝΕΣ

1

πιεῖν, πιεῖν τις ἔγχει πυριγενῆ
λαβὼν βραχύωτον κυκλοτερῆ παχύστομον
κώθωνα, παῖδα φάρυγος.

Athenaeus 11, 483 e *Ἡνίοχος Γοργόσι κτλ.* 1. *ἔγχει* Dobr. Add. Arist. p. 128] *ἐγχείτω* A. *πυρ. λ. βρ. κυκλ.* Dobr.] *λ. πυρ. κυκλ. βρ.* A. 3. *φάρυγος* Dobr.] *φάρυγγος. πιεῖν, πιεῖν τις ἐγχείτω λαβὼν | μέγαν, πυρ. κυκλ. παχύστ.* Hanov. Exerc. crit. 136. *παῖδα φάρυγος*, gulae ministrum (Toup. Emend. II 35) dici posse cothonem quis credat? rectius poeta scripserit *κώθωνα, παγίδα φάρυγος*, *gulae inritamentum bibendi*: quae comparatio sermoni eclogae tumidiori non male convenit.

ΔΙΣ ΕΞΑΠΑΤΩΜΕΝΟΣ ΕΠΙΚΛΗΡΟΣ ΘΩΡΥΚΙΟΝ (?)

Tituli a Suida solo commemorati. Meinek. I 421. 2.

ΠΟΛΥΕΥΚΤΟΣ

Significatur fortasse Polyeuctus Sphettius, Demosthenis in republica gerenda socius, propter luxuriam famosus. Meinek. I 422. cf. Anaxandr. 45.

2

ὁ βοῦς ὁ χαλκοῦς ἦν ἂν ἑφθὸς δεκάπαλαι,
ὁ δ' ἴσως γαλαθηνὸν τέθυκε τὸν χοῖρον λαβών.

Athenaeus 9, 396 d Ἡνίοχος Πολυεύκτῳ κτλ. 1. alterum ὁ add. Porson. ἂν ἑφθὸς Pors.] ἀνεφθος A. δεκάπαλαι Iacobs. Add. Ath. 207] δὲ καὶ παλαι A. cf. Arist. Eq. 1154. 2. τέθυκε A] τέτοκε VL. τὸν] νῷν?

de *bove aeneo* in arce Athenarum cf. Plat. com. 210. — morae inpatiens aliquis, fortasse Polyeuctus ipse, coquum compellat diu cunctantem, qui porcellum ad cenam emptum nondum adparaverit.

ΠΟΛΥΠΡΑΓΜΩΝ

3

ὁρῶ δὲ θαῦμ' ἄπιστον, ἰχθύων γένη
περὶ τὴν ἄκραν παίζοντα, κωβιούς, σπάρους,
ψήττας, ἐρυθίνους, κεστρέας, πέρκας, ὄνους,
θύννους, μελανούρους, σηπίας, αὐλωπίας,
τρίγλας, ἐλεδώνας, σκορπίους.

Athenaeus 6, 271 a φησὶν Ἡνίοχος ἐν Πολυπράγμονι. 1. δὲ Schweigh.] γὰρ A. 2. κωβίους A. 3. εὐρυθίνους A. 5. ἐλεδωνας A.

